ἐν καρδίᾳ θαλάσσης, σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεὸς καὶ ἔδωκας
3 τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ, [3]μὴ σοφώτερος εἶ σὺ τοῦ
4 Δανιηλ; σοφοὶ οὐκ ἐπαίδευσάν σε τῇ ἐπιστήμῃ αὐτῶν; [4]μὴ ἐν
τῇ ἐπιστήμῃ σου ἢ ἐν τῇ φρονήσει σου ἐποίησας σεαυτῷ δύναμιν
5 καὶ χρυσίον καὶ ἀργύριον ἐν τοῖς θησαυροῖς σου; [5]ἐν τῇ πολλῇ
ἐπιστήμῃ σου καὶ ἐμπορίᾳ σου ἐπλήθυνας δύναμίν σου, ὑψώθη ἡ
6 καρδία σου ἐν τῇ δυνάμει σου. [6]διὰ τοῦτο τάδε λέγει κύριος Ἐπειδὴ
7 δέδωκας τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ, [7]ἀντὶ τούτου ἰδοὺ
ἐγὼ ἐπάγω ἐπὶ σὲ ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν, καὶ ἐκκενώσου-
σιν τὰς μαχαίρας αὐτῶν ἐπὶ σὲ καὶ ἐπὶ τὸ κάλλος τῆς ἐπιστήμης
8 σου καὶ στρώσουσιν τὸ κάλλος σου εἰς ἀπώλειαν [8]καὶ καταβιβά-
σουσίν σε, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσσης.
9 [9]μὴ λέγων ἐρεῖς Θεός εἰμι ἐγώ, ἐνώπιον τῶν ἀναιρούντων σε; σὺ
10 δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός. ἐν πλήθει [10]ἀπεριτμήτων ἀπολῇ ἐν
χερσὶν ἀλλοτρίων· ὅτι ἐγὼ ἐλάλησα, λέγει κύριος.
11 12 [11]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [12]Υἱὲ ἀνθρώπου,
λαβὲ θρῆνον ἐπὶ τὸν ἄρχοντα Τύρου καὶ εἰπὸν αὐτῷ Τάδε λέγει
κύριος κύριος Σὺ ἀποσφράγισμα ὁμοιώσεως καὶ στέφανος κάλλους
13 [13]ἐν τῇ τρυφῇ τοῦ παραδείσου τοῦ θεοῦ ἐγενήθης· πᾶν λίθον
χρηστὸν ἐνδέδεσαι, σάρδιον καὶ τοπάζιον καὶ σμάραγδον καὶ ἄν-
θρακα καὶ σάπφειρον καὶ ἴασπιν καὶ ἀργύριον καὶ χρυσίον καὶ
λιγύριον καὶ ἀχάτην καὶ ἀμέθυστον καὶ χρυσόλιθον καὶ βηρύλλιον
καὶ ὀνύχιον, καὶ χρυσίου ἐνέπλησας τοὺς θησαυρούς σου καὶ τὰς
14 ἀποθήκας σου ἐν σοὶ ἀφ᾽ ἧς ἡμέρας ἐκτίσθης σύ. [14]μετὰ τοῦ χε-
ρουβ ἔθηκά σε ἐν ὄρει ἁγίῳ θεοῦ, ἐγενήθης ἐν μέσῳ λίθων πυρί-
15 νων. [15]ἐγενήθης ἄμωμος σὺ ἐν ταῖς ἡμέραις σου ἀφ᾽ ἧς ἡμέρας
16 σὺ ἐκτίσθης ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί. [16]ἀπὸ πλήθους τῆς
ἐμπορίας σου ἔπλησας τὰ ταμιειά σου ἀνομίας καὶ ἥμαρτες καὶ
ἐτραυματίσθης ἀπὸ ὄρους τοῦ θεοῦ, καὶ ἤγαγέν σε τὸ χερουβ ἐκ
17 μέσου λίθων πυρίνων. [17]ὑψώθη ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου,
διεφθάρη ἡ ἐπιστήμη σου μετὰ τοῦ κάλλους σου· διὰ πλῆθος
ἁμαρτιῶν σου ἐπὶ τὴν γῆν ἔρριψά σε, ἐναντίον βασιλέων ἔδωκά
18 σε παραδειγματισθῆναι. [18]διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου καὶ

3 σοφοι] pr. η A | τη] pr. εν A || 4 εν $2^0$ > B† | και $1^0$ Bpau.] + εποιησας rel. (in *O* sub ※) || 5 init. B†] pr. η rel. | σου $2^0$ > Bpau. | δυναμιν] -μεις A† || 6 κυριος] + κυριος ο θεος A: cf. 2 | επειδη] ανθ ων A | εδωκας A || 9 fin. B†] + τραυματιζοντων σε (10) θανατοις(uel sim.) rel. (in *O* sub ※) || 10 απεριτμητοις A || 12 κυριος κυριος] κυριος semel tantum A† | συ] + ει A || 13 παν BQ*C* (cf. Iud. 7 4 B)] παλιν V†; παντα Amu. | και $1^0$ > Apau. | εκτισθης συ BApau. (cf. 15)] συ > rel. || 14 εγενηθης > A† || 15 εως] + ημερας A† | αδικημ.] + σου A || 16 επλησας] επληθυνας A† | εκ μεσου] εμμεσω A || 17 δια το πληθος των αμαρτιων A: cf. 18

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/824 UNIVERSITÄT LEIPZIG